Κι. Σὺ δ' εἶ τίς ἡ 'κβάλλουσά μ'; Λυ. ἡμεροσκόπος. A
Κι. Πρὸς τῶν θεῶν νυν ἐκκάλεσόν μοι Μυρρίνην.
Λυ. Ἰδού. καλέσω 'γὼ τὴν Μυρρίνην σοι. σὺ δὲ τίς εἶ;
Κι. Ἀνὴρ ἐκείνης, Παιονίδης Κινησίας.
Λυ. Ὦ χαῖρε φίλτατ'· οὐ γὰρ ἀκλεὲς τοὔνομα
Τὸ σὸν παρ' ἡμῖν ἐστιν οὐδ' ἀνώνυμον. B
Ἀεὶ γὰρ ἡ γυνή σ' ἔχει διὰ στόμα.
Κἂν ᾠὸν ἢ μῆλον λάβῃ, Κινησίᾳ
Τουτὶ γένοιτο φησίν. Κι. ὢ πρὸς τῶν θεῶν.
Λυ. Νὴ τὴν Ἀφροδίτην· κἂν περὶ ἀνδρῶν γ' ἐμπέσῃ
Λόγος τις, εἴρηκ' εὐθέως ἡ σὴ γυνή,
Ὅτι λῆρός ἐστι τἄλλα πρὸς Κινησίαν. C
Κι. Ἴθι νυν κάλεσον αὐτήν. Λυ. τί οὖν; δώσεις τί μοι;
Κι. Ἔγωγε νὴ τὸν Δί' ἢν βούλῃ γε σύ.
Ἔχω δὲ τουτὶ ὅπερ οὖν ἔχω δίδωμί σοι.
Λυ. Φέρε νυν καλέσω καταβᾶσά σοι. Κι. ταχύ νυν πάνυ D
Ὡς οὐδεμίαν ἔχω γε τοῦ βίου χάριν,
Ἐξ οὗπερ αὐτὴ ἐξῆλθεν ἐκ τῆς οἰκίας.
Ἀλλ' ἄχθομαι μὲν εἰσιὼν, ἔρημα δὲ
Εἶναι δοκεῖ μοι πάντα. τοῖς δὲ σιτίοις
Χάριν οὐδεμίαν οἶδ' ἐσθίων. ἔστυκα γάρ.
Μυ. Φιλῶ φιλῶ 'γὼ τοῦτον, ἀλλ' οὐ βούλεται. E

CIN. *Quæ me eijcis, quis es?* LVS. *Diurna sum vigil.*
CIN. *Nunc per Deos huc Murrinam mihi aduoca.*
LVS. *Bona verba, Murrinam vt tibi aduocem, hem q is es?*
CIN. *Vir illius Pæonides Cinesias.*
LVS. *O salue amice, cuius haud ignobile*
*Ingloriúmve nomen est nobis quidem,*
*Quum sis in ore semper vxoris tuæ,*
*Quæ si vel ouum sumpsit aut pomum manu,*
*Cinesiæ, inquit, seruo.* CIN. *Dij vostram fidem.*
LVS. *Sin institutus de viris sermo incidat,*
*Venerem fauentem sic habeßim, vt ait statim,*
*Hos esse nugas præ suo Cinesia.*
CIN. *Abi ergo, & illam accerse.* LVS. *Quid dabis mihi?*
CIN. *Quod habeo habebis si voles hoc per Iouem,*
*Istud tibi inquam, quod habeo en dono libens.*
LVS. *Regressa, age hanc vocabo.* CIN. *sed propere admodum*
*Ingrata namq; vita prorsus est mihi*
*Ex quo vxor illa eliminauit, ac domum*
*Intrare tædet, nam videntur omnia*
*Deserta in illa, nec cibus alebribus*
*Iuuat fruisci. scilicet tentus nimis.*
MVR. *Amo hunc, amo inquam plurimum: hic à me tamen*

BISETVS. Οἴμοι κακοδαίμων.] ὁ Κινησίας, τὸ ἑαυτοῦ παιδίον ἐνέγκων, τὴν γυναῖκα Μυρρίνην οἴκαδε θᾶσσον ἐπανέρχεσθαι ἀναπείθειν πειρᾶται, καὶ πρὸς τὴν συνουσίαν προτρέπει. ἡ δὲ, καθὼς τῇ Λυσιστράτῃ ὑπέσχετο, ποικίλοις τρόποις τὸν ἄνθρωπον κατέχει, καὶ αὐτὸν ἐμπαίζουσα φενακίζει. περὶ Κινησίου δέ, φασὶν ὅτι κατωφερὴς ἦν εἰς συνουσίαν. καλῶς οὖν ὁ ἄνθρωπος ἀφροδισιαστικὸς, καὶ περὶ τὰς συνουσίας ἀκόλαστος Κινησίας καλοῖτο ἄν. παρὰ τὸ κινεῖν, τὸ βινεῖν, καὶ συνουσιάζειν. Σπασμός.] διὰ τούτων μεγίστην συνουσίας ὄρεξιν ἐδήλου. τροχὸς δὲ, ξύλον ἦν, ἐν ᾧ δεσμούμενοι οἱ οἰκέται ἐκολάζοντο. στρεβλούμενον δὲ, μαστιγούμενον. Σ. Οὑντός.] τὸ πλῆρες ὁ ἐντός. ἡμεροσκόπος δὲ καλεῖται ὁ τὴν ἡμέραν σκοπῶν, καὶ τῇ ἡμέρᾳ φρουρῶν. Παιονίδης.] τουτέστιν ὁ Παίονος υἱός, ἢ ὁ ἐκ τῆς χώρας ἡ Παιονία ὀνομάζεται. τοῦτο δὲ, εἴτε πατρωνυμικὸν, εἴτε ἐθνικὸν, ἀμφιβολίαν τινὰ κακεμφάτου ἔχειν φαίνεται. σκώπτει γὰρ αὐτὸν ὡς εὐεπίφορον εἰς τὴν Ἀφροδίτην, καὶ Παιονίδην ἴσως ἀντὶ τοῦ πεονίδην, παρὰ τὸ πέος, τὸ ὄνομα σχηματίσας γέλωτος, καὶ παιδιᾶς χάριν ἐκάλεσε. διὸ καὶ αὐτὸν εἶπεν ἀεὶ ταῖς G γυναιξὶ φίλον εἶναι, καὶ αὐτοῦ τὸ ὄνομα περιβόητον ἐν ἐκείναις. Διὰ στόμα.] κοινοπρεπέστερον εἴρηται. ἀντὶ τοῦ ἀνὰ ἢ κατὰ τὸ στόμα. ἐν τῷ στόματι, διὰ στόματος. Ταῦτα μᾶλλον ἐν χρήσει. Ἔγωγε νὴ τὸν Δία.] ὁ νοῦς οὗτος, ἔγωγε δώσω σοί τι, ἐὰν σὺ θέλῃς τοῦτο λαβεῖν, ὅπερ μόνον ἔχω. καὶ ἅμα δὲ τὸ σιωπώμενον τῇ Λυσιστράτῃ ἀναιδῶς δείκνυσι τὴν φωλεὰν, ἣν αὐτῇ παρέξειν ὑπισχνεῖται εἴπερ ἐθέλοι. τὸ σχῆμα παρεπιγραφὴ καλεῖται. Τοῦ βίου χάριν.] ὁ νοῦς. οὐδεμίαν χάριν, οὐδεμίαν ἡδονὴν ἐν τούτῳ τῷ βίῳ ἔχω. ἄνευ πάσης χάριτος ἄνευ πάσης ἡδονῆς τὸν βίον διάγω, ἀφ' οὗ αὕτη ἐκ τῆς οἰκίας ἐξῆλθεν. Αὕτη 'ξῆλθεν.] τὸ πλῆρες, αὕτη ἐξῆλθεν, καὶ γὰρ τῆς ἐννοίας, F τῆς συντάξεως, καὶ τοῦ μέτρου χάριν οὕτω γραπτέον. διεφθαρμένως δὲ, ἔν τισι τῶν ἀντιγράφων γέγραπται, αὕτη ξυνῆλθεν. Ἔστυκα γάρ.] σπασμὸς γάρ, καὶ τέτανος ἔχει με. τῆς συνουσίας οὕτως ἐπιθυμῶ, ὥστε τὸν βίον ἐμοὶ παντελῶς εἶναι λυπηρὸν, καὶ ἀβίωτον, εἰ μὴ τῶν ἐπιθυμουμένων τύχω. ταύτην γὰρ τῶν ἀφροδισίων τὴν λίαν ὄρεξιν ὁ σπασμὸς, καὶ τέτανος οὗτος δηλοῖ. περὶ δὲ τοῦ στύειν, καὶ στύεσθαι ἄνω προείρηται.

CHR. Οἷος ὁ σπασμός μ' ἔχει.] Multæ sunt cōuulsionum species secundùm partes affectas, Hęc in pene est, & dicitur Satyriasis. Nam & σάτυρον Grammatici volunt vocari ἔντασιν. Quin satyrion herba dicta συνεργὸς πρὸς τὰς ἀφροδισίας ὁρμάς. Hic verò cinesias Dithyrambicus poeta perhibetur, & famosus propter impietatem & παρανομίαν. Qui Pæonides fuit, egendu m

enim